# ΑΘΗΝΑ

## ΣΥΓΓΡΑΜΜΑ ΠΕΡΙΟΔΙΚΟΝ

ΤΗΣ

ΕΝ ΑΘΗΝΑΙΣ

ΕΠΙΣΤΗΜΟΝΙΚΗΣ ΕΤΑΙΡΕΙΑΣ

---

ΤΟΜΟΣ ΔΩΔΕΚΑΤΟΣ

ΤΕΥΧΟΣ ΠΡΩΤΟΝ

ΑΘΗΝΗΣΙΝ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΩΝ ΑΔΕΛΦΩΝ ΠΕΡΡΗ

1900

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΚΡΙΤΙΚΑ

## ΕΙΣ ΤΗΝ ΟΥΣΕΝΗΡΟΥ ΚΑΙ ΡΑΔΕΡΜΑΧΗΡΟΥ ΕΚΔΟΣΙΝ

## ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΑΛΙΚΑΡΝΑΣΕΩΣ

(ΤΟΜΟΣ Α')

ΜΕΡΟΣ ΔΕΥΤΕΡΟΝ (1)

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ Π.Κ.: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

---

### 259, 8.

Οὐδ'⟨ἂν⟩ αὐτὸς ὁ Δημοσθένης ὁ πάντας ὑπερβαλόμενος τούς τε πρὸ αὐτοῦ καὶ τοὺς καθ' ἑαυτὸν καὶ μηδὲ τοῖς γι ν ο μ έ ν ο ι ς ὑπερβολὴν καταλιπὼν τοιοῦτος ἐγένετο.

Κατὰ μὲν Στέφανον ἀντὶ τοῦ γινομένοις γραπτέον ἂν εἴη γενησομένοις, ἡμῖν δὲ δοκεῖ κρεῖττον εἶναι ἐπιγινομένοις γραφῆναι, φίλον ὂν τῷ συγγραφεῖ ῥῆμα καὶ σύνηθες τοιαῦτά γε λέγοντι. (Ἴδοις ἂν 9, 4. τῶν δὲ ἐπιγινομένων οὔτε πολλοῖς τισι κατέλιπεν ὑπερβολήν. 22, 13 «ἣν οὐθ' ὑπερεβάλετο τῶν ἐπιγινομένων οὐθείς» καὶ ἄλλοθι).

### 260, 7.

Ἄρχοντος δὲ Τιμοκράτους εἰς ἔτος ἦν ἐμβεβηκὼς ἑπτακαιδέκατον . . . δημοσίους δὲ λόγους ἤρξατο γράφων ἐπὶ Καλλιστράτου ἄρχοντος εἰκοστὸν καὶ πέμπτον ἔτος ἔχων.

Τὸ γνώμῃ Βείλου σημαινόμενον λόγου διάλειμμα ἐμπιμπλάναι ἡμεῖς ἐπιχειροῦμεν, τῶν κατ' Ἀφόβου λόγων ἤρξατο ἐγγράφοντες κατὰ τὸ ὀλίγον μετὰ ταῦτα λεγόμενον (ἐν σελ. 261, 4) τῶν κατὰ Φιλίππου δημηγοριῶν ἤρξατο. Ἐκβλητέον δ' εἶναι δοκεῖ μοι τὸ ἦν, ὕστερον ὑπό τινος τῷ λόγῳ προστεθὲν πρὸς λόγου συναφοῦς ἀποτέλεσιν μετὰ τὴν τῶν εἰρημένων διέκπτωσιν. Φίλος δ' ἀνήρ, Στέφα-

(1) Πρῶτον μέρος ἐν Ἀθην. Τ. ΙΒ' σ. 125.

Ε.Υ.Δ της Κ.Ε.Π. ΙΩΑΝΝΙΝΑ 2006

νος ὁ Δραγούμης τὸ «καὶ ἔγραφε λόγους ἰδιωτικοὺς» ἐκπεσεῖν ἤκασε ('Αθην. ΙΒ' 8).

260, 24.

Τόν τε κατὰ Τιμοκράτους λόγον ἔγραψε Διοδώρῳ τῷ κρίνοντι παρανόμων τὸν Τιμοκράτη καὶ τὸν περὶ Μεγαλοπολιτῶν δημηγορικόν, [ὃν] αὐτὸς ἀπήγγειλε.

Ἡ ἐναντιότης τοῦ αὐτὸς πρὸς τὸ Διοδώρῳ τῷ κρίνοντι παρανόμων τὸν Τιμοκράτη δηλοῖ ὅτι τὸ τὸν δημηγορικὸν δεύτερον πάσχον τοῦ ἔγραψέν ἐστι, καὶ τοιοῦτον ὂν διακρίνεται τοῦ πρώτου τὸν λόγον τῷ ὃν αὐτὸς ἀπήγγειλεν. Ὥστε οὐδένα λόγον ἔχουσα φαίνεται ἡ Βείλου δόξῃ ἀποβολὴ τοῦ ὅν. Εὐθὺς δὲ μετὰ ταῦτα (10) τὴν περὶ Ῥοδίων ἀπήγγειλε δημηγορίαν εἶπεν, οὐδαμῶς τὸ αὐτὸς προσθέμενος, καθ' ἑαυτὸ λεγομένου τοῦ πράγματος, οὐδεμιᾶς δ' ἐναντιώσεως ἐνούσης.

265, 4.

('Εξ 'Αριστ. 'Ρητ. Α', 2).

Πάντες δὲ τὰς πίστεις ποιοῦνται διὰ τοῦ . . . δεικνύναι ὁτιοῦν, δῆλον δ' ἡμῖν τοῦτο ἐκ τῶν ἀναλυτικῶν, ἀναγκαῖον ἑκάτερον 〈αὐτῶν ἑκατέρῳ〉 τούτων τὸ αὐτὸ εἶναι.

Ὑπὸ τοῦ ἑκάτερον 〈αὐτῶν ἑκατέρῳ〉 τούτων τὸ αὐτὸ εἶναι ἀγόμενοι τῷ μετὰ τὸ διὰ τοῦ διαλείμματι λόγου ἐγγραπτέον ἡγούμεθα εἶναι τὸ 〈συλλογισμοῖς καὶ ἐπαγωγαῖς ἢ ἐνθυμήμασι καὶ παραδείγμασι〉.

273, 17.

Φιλίππου - - πρέσβεις πέμψαντος εἰς Θήβας . . . Θετταλῶν Αἰνιάνων Αἰτωλῶν Δολόπων Φθιωτῶν κτέ.

Τῷ μετὰ τὸ Θήβας λόγου χάσματι ἐμβάλλομεν τὸ καὶ παρά, τοῦ μὲν ἐκδότου καὶ αὐτοῦ (;) καὶ ἐγγράφοντος, Σαυππίου δὲ μετά.

275, 17.

Πάντες οἱ Δημοσθένους ἀγῶνες (= λόγοι) οἱ πρὸ τῆς Λυ-

σιμαχίδου ἀρχῆς ἐν ἐκκλησίαις τε καὶ δικαστηρίοις γενόμενοι πρότερον τοῦ Ἀριστοτέλους τεχνῶν. . .

Τὸ τοῦ λόγου ἐλλεῖπον ἡμῖν γε ἂν εἴη ἀπηγγελμένοι εἰσί, οἷον τὸ ἔμπροσθέν που (271, 19) «τούτους ἅπαντας τοὺς λόγους -- πρὸ τῆς ἐκδόσεως τῶν Ἀριστοτέλους τεχνῶν ἀπήγγειλεν ὁ Δημοσθένης» καὶ τὸ (269, 5) «καὶ τοὺς ἄλλους αὐτοῦ λόγους -- ἐπιδείξω -- πρότερον ἀπηγγελμένους τῶν ἐκδόσεως τούτων τῶν τεχνῶν». Ἑρουερδὴν δὲ τὸ εἰσὶν ἐκπεπτωκέναι τοπάζει, Σύλβουργος δέ γε τὸ ἐκδεδομένοι εἰσίν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΜΕΛΗΣ

## 276, 11.

Ὡς ὁ Δημάδης τὴν Δημοσθένους πολιτείαν πάντων τῶν κακῶν αἰτίαν (λαμβάνει)· μετ' ἐκεῖνο γάρ. . .

Ταῦτα λόγος ἐστὶν Ἀριστοτέλους ἐκ τῆς ῥητορικῆς παρειλημμένος (Β' 23 σ.1397α), τῷ δὲ συνέβη ὁ πόλεμος ἐκεῖ τελειούμενος. Ὁ δ'ἐκδότης οὐδὲν δέον ὀκνεῖ παραλαβεῖν διὰ τὸ ἕνδεκα μόνον γραμμάτων χώραν ἔχειν τὸ κενόν, καὶ συνέβη ταῦτα τοπάζει μᾶλλον γραπτέον εἶναι. Ἀλλὰ τὸ μὲν δοκοῦν ἀπεῖναι τῶν γραμμάτων πλῆθος οὐκ ἔστιν ἀεὶ ἀκριβὲς καὶ ἀληθές, ἐνταῦθα δ' ἔτι αὐτὸς ὁ συγγράψας φανερὸν ποιεῖ ὁ πόλεμος ἀλλ' οὐ ταῦτα γεγραφώς, λέγων εὐθὺς μετὰ ταῦτα (14) «πάντες οἱ δημόσιοι λόγοι -- πρὸ τοῦ πολέμου γεγόνασι» καὶ ὀλίγον μετὰ ταῦτα (18) «οὗτος γὰρ μόνος εἰς δικαστήριον εἰσελήλυθε μετὰ τὸν πόλεμον».

## 300, 8.

Ὁρῶν (Δείναρχος) ἠρεθισμένους τοὺς Ἀθηναίους καὶ μάλιστα τῷ πλουτεῖν ἑαυτὸν ὑ φ ο ρ ω μ έ ν ο υ ς, μὴ διὰ τοῦτο πάθῃ τι δεινόν, εἰσελθεῖν μὲν εἰς δικαστήριον οὐχ ὑπέμεινεν.

Τὴν γραφὴν ὑφορώμενος κατὰ πάντα λόγον προκριτέον· μόνον γὰρ οὐχὶ φωνὴν ἀφιὲν τὸ μὴ διὰ τοῦτο πάθῃ τι δεινὸν ἡμᾶς τὸ τῆς γραφῆς ὀρθὸν διδάσκει· ἐπεὶ πόθεν ἂν ἡ τοῦ μὴ πρότασις κρέ-

Ε.Υ. Ζώτης ΙΩΑΝΝΙΝΑ 2006

μαιτο, εἰ ὑφορωμένους ἐγράφη; Τὸ δὲ ἑαυτὸν παντὶ δῆλον ὅτι κατὰ τὴν πρόληψιν τὸ σχῆμα ταύτην ἔχει τὴν χώραν ἐν τῷ λόγῳ. Τῇ αὐτῇ δὲ ταύτῃ δυνάμει καὶ χρείᾳ τὸ ὑφορᾶσθαι καὶ παρ' Ἰσαίῳ που (Μενεκλ. 7) λέγεται, «τήν τε ἡλικίαν ὑφορᾶσθαι τὴν ἑαυτοῦ καὶ τὴν ἀπαιδίαν».

304, 11.

Τοῦ δὲ Ὑπερειδείου (χαρακτῆρος) ταῖς τε οἰκονομίαις ἀκριβεστέρου καὶ ταῖς κατασκευαῖς γενναιοτέρου πως ὄντος τῶν Λυσιακῶν ἐν πλείοσι μὲν ἢ τριάκοντα Δεινάρχου λόγοις παραδείγματα εὑρεῖν ἐστιν.

Γραπτέον μᾶλλον «τριάκοντα ⟨τοῦ⟩ Δεινάρχου λόγοις».

304, 21.

Πῶς οὖν ἄν τις δυνηθείη τοὺς γνησίους αὐτῷ γνωρίζειν λόγους;

Οὐδένα λόγον ἔχει προκριθῆναι τὸ αὐτῷ τῆς γραφῆς αὑτῷ ἢ τοῦ αὐτοῦ (τοῦ Δεινάρχου), Συλβουργείου ἐπανορθώματος· τοῦ μὲν γὰρ αὑτῷ ἢ αὐτοῦ ἀναγκαίου ὄντος τῷ ἐνταῦθα λεγομένῳ, ἄτοπον δηλοῖ ὂν τὸ τοὺς γνησίους λόγους (τίνος;) ἑαυτῷ γνωρίζειν, ὅ ἐστι γνωρίμους ποιεῖν.

305, 6.

Αὐτίκα ὁ μὲν Λυσίας ἔν τε τοῖς ἰδίοις καὶ τοῖς δημοσίοις ἀγῶσιν αὐτὸς αὑτῷ ὁμολογούμενός ἐστιν . . . εἰς δὲ τὸν λεκτικὸν τόπον κατὰ τὴν τῶν ὀνομάτων σαφήνειαν καὶ σύνθεσιν αὐτοφυῆ μὲν καὶ λείαν εἶναι δοκοῦσαν, παντὸς δὲ λόγου κατὰ τὴν ἡδονὴν διαφέρουσαν.

Ἀναγιγνώσκων τις τὸ πέμπτον καὶ δέκατον τοῦ περὶ Λυσίου λόγου τοῦ συγγραφέως κεφάλαιον (σελ. 25, 8), τάδε μάλιστ' ἂν πορίσαιτο πρὸς τὴν τοῦ κενοῦ τοῦ μετὰ τὸ ἐστὶν πλήρωσιν· ⟨εἰς μὲν τὸν πραγματικὸν τόπον κατὰ τὴν δεινότητα μὲν τῆς εὑρέσεως, τὴν ἁπλότητα δὲ τῆς οἰκονομίας, τὴν ἀφέλειαν δὲ τῆς ἐξεργασίας,⟩.

306, 7.

Ἔστωσαν δή τινες ἐπιγραφόμενοι λόγοι ὡς ὄντες Δεινάρχου, πολλὴν ἔχοντες πρὸς τὰ Λυσιακὰ ὁμοιότητα. Τούτων ὁ βουλόμενος ποιεῖσθαι τὴν διάγνωσιν, πρῶτον μὲν τὴν ἰδιότητα τοῦ ἀνδρὸς ἐκείνου θεωρείτω, ἔπειτα ἐὰν μὲν ἀ ρ ε τ ή ν τε καὶ χάριν τοῖς λόγοις ἐπανθοῦσαν ἴδῃ --, θαρρῶν λεγέτω τούτους Λυσίου.

Τοῦ ἐκδότου ἐνάργειαν ἀντὶ τοῦ ἀρετὴν γεγράφθαι τοπάζοντος, ἡμεῖς ἰδόντες τὰ ἐν τῷ ἑνδεκάτῳ μάλιστα κεφαλαίῳ τοῦ περὶ Λυσίου τοῦ συγγραφέως λόγου (σ. 19), ἀφροδίτην μᾶλλον ἐξ ἐκείνων τεκμαιρόμεθα λελέχθαι (19, 21 «ἐὰν μηδεμίαν ἡδονὴν μηδὲ ἀφροδίτην ὁ τῆς λέξεως χαρακτὴρ ἔχῃ» καὶ 20, 5 «τὸ δὲ ἡδέως καὶ κεχαρισμένως καὶ ἐπαφροδίτως Λυσίᾳ»). Ἴσως δὲ καὶ ὧδε μεταγραπτέον ἂν εἴη «ἐὰν μὲν ἀρετὴν τὴν χάριν τοῖς λόγοις ἐπανθοῦσαν ἴδῃ».

314, 9.

Οἱ μὲν οὖν ⟨πρεσβύτεροι⟩ τῆς ἀκμῆς αὐτοῦ φερόμενοι ψευδεπίγραφοι [ε ἰ ς α ὐ τ ὸ ν] λόγοι εἰσὶν οἵδε.

Οὐδένα λόγον ἔχει τὸ εἰς αὐτὸν τοῦ λόγου ἐκβαλεῖν οὐδ' αἰτίαν ἂν εὕροι τις τοῦ πάθους αὐτοῦ τούτου πάθουσαν, ὡς ὀρθῶς ἔχει ταῦτ' οὕτω γενόμενα. Ἐμοὶ δέ γε πᾶν τοὐναντίον δοκεῖ· ὁ γὰρ λόγος ἐνδεῶς πάμπαν ἂν ἔχοι στερούμενος τοῦ εἰς αὐτόν, τὴν ἀπορίαν ἔχων ὅτου ἂν εἶεν οἱ φερόμενοι ψευδεπίγραφοι λόγοι. Οὐδὲ παρὰ τὴν γραμματικὴν ἄλλως χρείαν ἂν ἔχοι τὸ οἱ φερόμενοι εἴς τινα λόγοι· καὶ γὰρ αὐτῷ τῷ συγγραφεῖ τούτῳ ἄρτι εἰρημένον τετύχηκε (303, 18) τὸ «τοὺς φερομένους εἰς αὐτὸν λόγους».

314, 12.

Διαδικασία τῆς ἱερείας τῆς Δήμητρος πρὸς τὸν ἱεροφάντην. «Πολλῶν καὶ παραδόξων, ὦ ἄνδρες δικασταί». Οὗτος ὁ λόγος ἤδη πεφευγότος αὐτοῦ εἴρηται, ὡς ἐξ αὐτοῦ γί-

γνεται φανερόν· μέμνηται γὰρ ἐν αὐτῷ ⟨ὁ λέγων⟩ τῆς κατασχούσης ὀλιγαρχίας.

Θαυμάζοι μὲν ἂν τις ὅπως ἂν ὁ λέγων τῆς γραφῆς ἐκπέσοι· τίς γὰρ ἂν τούτου αἰτία εἴη παλαιογραφική; Ἡμεῖς δὲ μᾶλλον ἂν εἰκότα τοπάζειν ἡγούμεθα, εἰ παρέγγραπτον τὸ ἐν αὐτῷ λαμβάνοιμεν. Οὐ γὰρ ὁ λέγων ἐστὶν ἐνταῦθα ὃς μέμνηται τῆς κατασχούσης ὀλιγαρχίας, ἀλλ' ὁ λόγος αὐτός, ὥσπερ ἔχει καὶ ὀλίγον μετὰ ταῦτα (320, 3) «μέμνηται γὰρ ὡς νεωστὶ τῆς εἰς Πύλας ἐξόδου γεγινημένης (ὁ λόγος), ὃ οὐ συνιδών τις τῶν ὕστερον διεξιόντων τὸν λόγον καὶ τὸ μεμνῆσθαι μόνον περὶ ἀνδρῶν οἷόν τ' εἶναι λέγεσθαι κακῶς δοξάζων τὸ ἐν αὐτῷ παρενέγραψε, τὸν λόγον τελειοῦν οὕτως οἰόμενος.

## 315, 1.

Διαδικασία Εὐδανέμων πρὸς Κήρυκας ὑπὲρ τοῦ κανῶς. «Οὐδαμῶς τοιαῦτα πράγματα».

Οὕτως μὲν ἐγράφη κατὰ Σύλβουργον τὸ ἀρχαῖον «κανῶς οὐδαμῶς τοιαῦτα». Βλάσσος δ' ἐν τῷ περὶ Δεινάρχου (Att. Bered.) τὴν βλάβην μόνον τοῦ χωρίου ἔτυχε σημήνας «ὑπὲρ τοῦ κανῶς» γράφων, Δραγούμη δὲ τοῦ κανοῦ ἐπανορθῶσαι ἔδοξε (Ἀθην. 12, 9). Ἡμεῖς δὲ μᾶλλον ἂν ὑπὲρ πολλῶν ἢ ἑνὸς κανοῦ τὴν διαδικασίαν γίγνεσθαι ἡγούμενοι «ὑπὲρ τῶν κανῶν» κελεύομεν μεταγραφῆναι, ἄλλως τε καὶ τῶν παλαιῶν γραμμάτων σῖγμά τε καὶ νῦ, καίπερ ἀλλαχοῖ τετραμμένων, ὅμως ἐγγύς τι τὴν ἰδέαν γραφομένων καὶ ῥᾳδίως ἂν διαμειβομένων.

## 315, 7.

Αἰτωλικὸς «καὶ ἡμεῖς, ὦ ἄνδρες Αἰτωλοί, πρέσβεις». Οὗτος καθεστώσης τῆς ὀλιγαρχίας ὑπὸ τῶν Ἀθήνηθεν φυγάδων εἴρηται δεομένων τοὺς Αἰτωλοὺς αὐτοῖς βοηθεῖν, ἐπεὶ καὶ ὁ Κάσσανδρος αὐτοῖς ἐλευθέροις οὖσιν ἐπεχείρει, ὡς ἐν αὐτῷ τῷ λόγῳ γίγνεται τοῦτο δῆλον. Οὔκουν εἰκὸς φίλον ὄντα τὸν Δείναρχον τῶν τὴν ὀλιγαρχίαν καταστη-

σάντων τοῖς καταλύειν ἐπιχειροῦσιν συναγωνίζεσθαι, οὐδ' αὐτοὺς Ἀθήνηθεν λόγους † καταλαμβάνειν οἷόν τ' ἐστί.

Τοῦ ἐκδότου τῷ † τὴν περὶ τὸ καταλαμβάνειν τῆς γραφῆς φθορὰν σημαινομένου, ἡμεῖς ἰᾶσθαι σπουδάζοντες παραλαμβάνειν ἀντιγράφομεν. Δεινάρχου γὰρ ὄντος ὀλιγαρχικοῦ καὶ ἐπ' ὀλιγαρχίας τῆς Κασσανδρείου ἐν Ἀθήναις διατρίβοντος, οὐχ οἷόν τ' ἦν τοῖς δημοκρατικοῖς φυγάσι κοινωνοῦντας Ἀθηναίοις λόγους παρὰ Δεινάρχου ἢ παρ' ἄλλου λογογράφου Ἀθήνηθεν παραλαμβάνειν.

320, 6.

Πρὸς Μαντίθεον περὶ προικός: «πάντων ἐστὶν ἀνιαρότατον». Οὗτος (ὁ λόγος) ἀκολουθεῖ τῷ προτέρῳ λόγῳ καὶ πολλὰ ἔχει κατὰ τὴν λέξιν τοιαῦτα, ἃ εἴη ἂν τοῦ αὐτοῦ ῥήτορος, ἔξω τῆς τῶν Δεινάρχου ἡλικίας . . . πολλοῖς ἔτεσιν ὕστερον ἠγώνισται τὸν ἀγῶνα ὁ κατήγορος, ἀλλὰ δύο ἢ τρισίν, ὡς ἀκριβέστερον περὶ αὐτῶν ἐν τῇ περὶ Δημοσθένους γραφῇ δεδηλώκαμεν.

Κατὰ μὲν τὸν ἐκδότην μετὰ τὸ ἡλικίας γραπτέον ἂν εἴη τὸ ὄντος· οὐ γάρ, κατὰ δὲ Σαύππιον τὸ ἔστι δὲ πρὸ τοῦ ἔξω. Καίτοι οὐδαμοῦ τοῦ περὶ ψευδεπιγράφων λόγου τοῦ Δεινάρχου λόγου ζητῶν ἂν εὕροις λεγόμενον ἡ τῶν Δεινάρχου (λόγων) ἡλικία, ὥσπερ ἔχοντα σὺν Σαυππίῳ ὁ ἐκδότης ὑγιῶς τὸν λόγον ἔχειν οἴεται, Σαδαίου ἐκπεπτωκέναι τὸ ⟨λόγων⟩ τοπάζοντος· οὐδ' ἔστιν αὖ πρὸς λόγου τὸ τοῦ ἐκδότου ῥήτορα ἔξω εἶναι τῆς τῶν Δεινάρχου λόγων ἡλικίας, οὐδ' ἐλέχθη που τοῦ ἐνταῦθα λόγου τοιοῦτόν τι καὶ παραπλήσιον. Διὸ ἡμεῖς τὸ εὐθὺς μετὰ ταῦτα ἰδόντες (321,1) «ἔξω δ' ἔστι τῶν Δεινάρχου χρόνων (ὁ λόγος)», ὅμοια καὶ ἐνταῦθα ἀναγιγνώσκομεν «ἔξω ⟨δ' ἔστι⟩ [τῆς] τῶν Δεινάρχου ⟨χρόνων⟩ [ἡλικίας]· ⟨οὐ γάρ⟩», σχόλιον τὸ τῆς ἡλικίας παρέγγραπτον λαμβάνοντες τὸ τῶν χρόνων ἑρμηνεῦον.

326, 13.

Μέλλων δὲ τῶν κατὰ μέρος ἅπτεσθαι λόγων, ὀλίγα περὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΨΗΦΙΟΠΟΙΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΑΠΑΓΕΩΡΓΙΟΥ
Ε. Ρ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐμαυτοῦ τε καὶ τοῦ γένους τῆς πραγματείας βούλομαι προειπεῖν· οὐ σοῦ μὰ Δία καὶ τῶν σοὶ παραπλησίων ἕνεκα, τῶν ἀπὸ παντὸς τοῦ βελτίστου κρινόντων τὰ πράγματα καὶ μηδὲν ἡγουμένων χρῆμα τιμιώτερον τῆς ἀληθείας· ἀλλὰ τῶν ἄλλων ὅσοις πολὺ τὸ φυλαίτιον ἔνεστιν ⟨εἴ τε κατὰ τὸν ζῆλον⟩ τῶν ἀρχαίων γινόμενον εἴ τε κακὰ τὴν ὑπεροψίαν τῶν ἐπὶ τῆς αὐτῆς ἡλικίας εἴ τε κατ' ἀμφότερα ταῦτα τὰ πάθη κοινὰ τῆς ἀνθρωπίνης ὄντα φύσεως.

Ὑπὲρ τοῦ κατορθοῦν καὶ εὐδοκιμεῖν ἔκδοσιν οὐκ ἐλάχιστον μέρος καὶ τὸ ὀρθῶς διαστίζειν τὰ τοῦ λόγου μόρια συμβάλλεται· διὸ οὐκ ἂν καὶ περὶ τούτου λόγον ποιεῖσθαι ἀτιμάσαιμεν, εἴ τι μὴ δοκεῖ ἡμῖν κατὰ τρόπον ἔχειν μηδ' ἐμμελῶς φθέγγεσθαι. Ἔστι δὲ δι' ὃ τοιαῦτα φροιμιάζομαι ὅτι ἀτόπως σφόδρα ἔχειν ἡγοῦμαι τὸ τῇ μέσῃ στιγμῇ, ἔν τε τῷ προειπεῖν καὶ ἐν τῷ ἀληθείας τὸν ἐκδότην διαστίξαι, θαυμαστὰ καὶ καινὰ περὶ αὐτὰ νομοθετοῦντα. Ὅμοιον δὲ δὴ πάσχειν δοκεῖ ἡ διαστίξει τοῦ λόγου διαίρεσις καὶ ἐν τῷ ὀλίγα διελθόντι (328, 8) ἐπιφύομαι. Τοιαῦτα δὲ καὶ ἀλλαχοῦ ἂν ἴδοις (332, 11. 14. 16. 18 κ. ἀ.).

336. 9.

Καινὴν δέ τινα καὶ ἀτριβῆ τοῖς ἄλλοις πορευθῆναι βουληθεὶς ὁδὸν (ὁ Θουκυδίδης) θερείαις καὶ χειμερίοις ⟨ὥραις ἀκολουθῶν⟩ ἐμέρισε τὴν ἱστορίαν.

Τὸ ἐν τῷ Ἀμβροσιακῷ (Μ) μόνον βιβλίῳ σημαινόμενον κενὸν Σχοίλλιος μὲν ἐνέπλησεν, ὁ δ' ἐκδότης ἀπεδέξατο. Ἡμῖν δ' ὀρθότερα Οὔδσων δοξάζειν φαίνεται, τὸ χειμερίοις χειμερείαις μεταγραφῆναι μόνον δεῖν φάσκων. Τὸ μὲν γὰρ διάλειμμα βιβλιογράφου ἂν εἴη εἰκασία τις τῆς πλημμελοῦς γραφῆς χειμερίαις αὐτὸν ἀναγκασάσης, περιττὰ δὲ καὶ ἄχρεῖα παντάπασι δοκεῖ εἶναι τὰ τοῦ Σχοιλλίῳ ἐμβεβλημένα ὥραις ἀκολουθῶν, ὥσπερ τὰ ὀλίγα διελθόντι (338, 26) αὐτῷ τῷ συγγραφεῖ εἰρημένα δηλοῖ «οὐδεὶς γὰρ τῶν μεταγενεστέρων συγγραφέων θερείαις καὶ χειμῶσι διεῖλε τὴν ἱστορίαν, ἐν

Ε.Υ.Δ. ... Κ.Π.Π. ΙΩΑΝΝΙΝΑ 2006

οἷς ἀντὶ μὲν τοῦ χειμερείαις ἐστὶ χειμῶσι ἀντὶ δὲ τοῦ ἐμέρισε διεῖλε.

337, 12.

Ἀτελεῖς δὲ καὶ τοὺς ἠπειρωτικοὺς πολέμους καταλιπὼν Σικελίας ἅπτεται πάλιν καὶ μετὰ τοῦτο Δῆλον καθαίρει καὶ τὸ Ἀμφιλοχικὸν Ἄργος πολεμούμενον ὑπὸ Ἀμπρακιωτῶν . , . καταλείπει.

Τὸ μετὰ τὸ Ἀμπρακιωτῶν λόγου διάλειμμα Κρυγῆρος μὲν συνεῖδεν, ἡμεῖς δ' ἐμπιμπλάναι ἐπιχειροῦντες τοιάδ' ἐμβληθῆναι κελεύομεν, τοῦ Θουκυδίδου ἡμῖν ὑφηγουμένου (3, 105-114. 115) «Ἀμπρακιωτῶν ⟨διεξέρχεται καὶ εἰς τὰ περὶ Σικελίας τρίτον ἐλθὼν ἀτελῆ⟩

337, 22.

Χρὴ δὲ τὴν ἱστορικὴν πραγματείαν εἰρομένην εἶναι καὶ ἀπερίσπαστον, ἄ λ λ ω ς τ ε ἐπειδὰν περὶ πολλῶν γίνηται πραγμάτων καὶ δυσκαταμαθήτων.

Ἀδόκιμον ἡμῖν εἶναι δοκεῖ καὶ παρὰ Διονυσίῳ τὸ ἄλλως τε χωρὶς τοῦ καί· διὸ οὐδὲν ὀκνοῦντες ἐμβάλλομεν τῷ λόγῳ μετὰ τὸ ἄλλως τε.

337, 22.

Χρὴ δὲ τὴν ἱστορικὴν πραγματείαν εἰρομένην εἶναι καὶ ἀπερίσπαστον, ἄλλως τε καὶ ἐπειδὰν περὶ πολλῶν γίνηται πραγμάτων καὶ δυσκαταμαθήτων. Ὅτι δὲ οὐκ ὀρθὸς ὁ κανὼν οὗτος (ἡ κατὰ θέρη καὶ χειμῶνας διαίρεσις) οὐδ' οἰκεῖος ἱστορίᾳ, δῆλον. Οὐδεὶς γὰρ τῶν μεταγενεστέρων συγγραφέων θερείαις καὶ χειμῶσι διεῖλε τὴν ἱστορίαν, ἀλλὰ πάντες τὰς τετριμμένας ⟨ὁδοὺς καὶ δυναμένας⟩ ἄγειν ἐπὶ τὴν σαφήνειαν μετῆλθον.

Ῥείσκιος μὲν ἔγραψε «τετριμμένας ⟨ὁδοὺς καὶ εἰωθείας⟩», ὁ δ' ἐκδότης «τετριμμένας ⟨ὁδοὺς καὶ δυναμένας⟩», ἡμεῖς δ' ἀποσκο-

ποῦντες εἰς τὸ ἄρτι εἰρημένον «διεῖλε τὴν ἱστορίαν», μᾶλλον κατὰ σκοποῦ βάλλειν ἡγούμεθα «τὰς τετριμμένας ⟨διαιρέσεις τὰς δυναμένας⟩» γράφοντες· καὶ γὰρ καὶ τὸ μετιέναι ἴσα τῷ διώκειν ἢ ἐπιτηδεύειν δυνάμενον οὐκ ἂν πάνυ ἐμμελῶς τῷ ὁδοὺς συζευχθείη, καθάπερ τὸ πορεύεσθαι (336, 10).

## 338, 4.

Αἰτιῶνται δὲ καὶ τὴν τάξιν αὐτοῦ τινες, ὡς οὔτε ἀρχὴν τῆς ἱστορίας εἰληφότος, ἣν ἐχρῆν, οὔτε τέλος ἐφηρμοκότος αὐτῷ τὸ πρέπον - -. Τὴν δὲ ἀφορμὴν ⟨αὐτὸς⟩ αὐτοῖς τῆς κατηγορίας ταύτης ὁ συγγραφεὺς παρέσχηται.

Ὁ τῷ ἐκδότῃ ἐμβέβληται αὐτὸς καλῶς μὲν κεῖται τῆς παλαιογραφικῆς ἑρμηνείας τῆς ἐν τῷ γράφεσθαι ἐκπτώσεως, πορρωτέρω δὲ τοῦ συνήθους ἀπελήλαται τοῦ οἰκείου ὀνόματος ὁ συγγραφεύς, αὐτὸς ὁ συγγραφεὺς ἢ ὁ συγγραφεὺς αὐτὸς δέον λεχθῆναι. Διὸ ἡμεῖς οὐ πολλὴν αὐτοῦ τὴν ἀνάγκην ἄλλως ὁρῶντες οὐ δοκιμάζομεν τὴν ἐμβολὴν οὐδ' ὅλως τὴν προσθήκην.

## 340, 9.

«Ταῦτα δὲ πάντα - - ἐγένοντο ἐν ἔτεσι πεντήκοντα μάλιστα - -· ἐν οἷς οἱ Ἀθηναῖοι τήν τε ἀρχὴν ἐγκρατεστέραν κατεστήσαντο καὶ αὐτοὶ ἐπὶ μέγα ἐχώρησαν δυνάμεως, οἱ δὲ Λακεδαιμόνιοι αἰσθόμενοι οὔτε διεκώλυον, εἰ μὴ ἐπὶ βραχύ, ἡσύχαζόν τε τὸ πλέον τοῦ χρόνου, ὄντες μὲν καὶ πρὸ τοῦ μὴ ταχεῖς ἐς τοὺς πολέμους, ἢν μὴ ἀναγκάζωνται, τότε δέ τι καὶ πολέμοις οἰκείοις ἐξειργόμενοι».

Θαυμαστὸν ὅτι οὐκ ἐδέξατ' ὁ ἐκδότης τὸ ἀναμφισβητήτως ὀρθὸν τοῦ Ῥείσκου ἐπανόρθωμα τότε δ' ἔτι, ἀντὶ τοῦ τότε δέ τι αὐτὸ γραφῆναι κελεύοντος.

## 340, 16.

« - - ἡσύχαζόν τε τὸ πλέον τοῦ χρόνου (οἱ Λακεδαιμόνιοι) - -· πλὴν ἡ δύναμις τῶν Ἀθηναίων σαφῶς ἤρετο.

Οὐχ οἷόν τ' οὕτως ἀτόπως ἔχειν Διονύσιον, ὥστε τὸ πλὴν ἀντὶ τοῦ παρὰ Θουκυδίδῃ πρὶν δὴ καὶ μνημονεύοντα γράψαι οὐδὲ κατὰ μίαν χρείαν ὀρθῶς καὶ ὑγιῶς ἔχον. Διὸ εὐλογώτατα ὁ Σύλβουργος μετέβαλε πρὶν δή.

343, 9.

Τὰς μὲν πρώτας Ἀθηναίων καὶ Πελοποννησίων ναυμαχίας ἀμφοτέρας περὶ τὴν τελευτὴν τῆς δευτέρας βύβλου γράφειν ἀρξάμενος, ἐν αἷς πρὸς ἑπτὰ καὶ τεσσαράκοντα ναῦς Πελοποννησίων εἴκοσι ναυσὶν Ἀθηναῖοι μόνοι . . . πρὸς πολλαπλασίους τῶν βαρβάρων ναυμαχήσαντες ἃς μὲν διέφθειρον (γρ. διέφθειραν), ἃς δ' αὐτάνδρους ἔλαβον οὐκ ἐλάττους ἢ ὅσας ἔστειλαν ἐπὶ τὸν πόλεμον.

Ἀτελῆ μετὰ τὸ μόνοι τὸν λόγον εἶναι δοκοῦντα ὧδε τελεοῦν Σύλβουργος πειρᾶται· ⟨ἐμαχέσαντο, μακρᾷ καὶ διεξοδικῇ χρῆται διηγήσει· τοὐναντίον δὲ ἐν τῇ προτέρᾳ βύβλῳ βραχέως πάνυ ἐπιτρέχει τήν τε πεζομαχίαν καὶ τὴν ναυμαχίαν ἐν ᾗ Ἀθηναῖοι⟩. Τοῦ δ' ἐκδότου πολλῷ πλείω τὰ ἐκπεπτωκότα εἶναι οἰομένου, ἡμεῖς τοιάδ' ἄττα τῷ λόγῳ τούτῳ ἐνδεῖν τοπάζομεν· α - - ἐν αἷς πρὸς ἑπτὰ καὶ τεσσαράκοντα ⟨καὶ ἑπτὰ καὶ πεντήκοντα⟩ ναῦς Πελοποννησίων εἴκοσι ναυσὶν Ἀθηναῖοι μόνοι ⟨ναυμαχήσαντες δύο μὲν ναῦς μόνον κατέδυσαν, ὀκτωκαίδεκα δὲ ἔλαβον, διὰ μακρῶν καὶ ἀκριβῶς διηγεῖται καὶ τοὺς λόγους εἴρηκε τοὺς ὑπὸ τῶν στρατηγῶν λεχθέντας· βραχέως δὲ πάνυ καὶ ἐπιτροχάδην ἐν τῇ πρώτῃ βύβλῳ διέρχεται τὴν ἐπ' Εὐρυμέδοντι πεζομαχίαν τε καὶ ναυμαχίαν, ἐν ᾗ Ἀθηναῖοι μετὰ τῶν συμμάχων⟩. Ἀναγκαῖον δ' εἶναί μοι δοκεῖ προσκεῖσθαι τὸ μὲν ἑπτὰ καὶ πεντήκοντα διὰ τὸ τοσοῦτον εἶναι ἐν τῇ δευτέρᾳ ναυμαχίᾳ τὸ τῶν Πελοποννησίων νηῶν πλῆθος, τὸ δὲ μετὰ τῶν συμμάχων διά τε τὸ ἀληθὲς καὶ διὰ τὸ προειρῆσθαι τὸ Ἀθηναῖοι μόνοι.

344, 6.

- - ἀρξάμενος ἐν τῇ τετάρτῃ βύβλῳ διηγεῖσθαι (ὁ Θουκυδίδης) - -, ἅπαντα τὰ γεγενημένα κατὰ τὰς μάχας ὑπ'

ΕΡΓΑΣΤΗΡΙΟ ΘΕΟΛΟΓΙΑΣ ΚΑΙ ΦΙΛΟΣΟΦΙΑΣ ... ΕΠΙΣΤΗΜΟΝΙΚΟΣ ΥΠΕΥΘΥΝΟΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε. Γκίνης ... ΙΩΑΝΝΙΝΑ 2006

ἀμφοτέρων διελήλυθεν ἀκριβῶς καὶ δυνατῶς, πλείους ἢ τριακοσίαυς στίχους αὐτὸς ἀποδεδωκὼς ταῖς μάχαις.

Ἀντὶ τοῦ αὐτός, ἀτόπως δὴ τὴν διάνοιαν ἔχοντος, Σύλβουργος μὲν ἤκασε γραπτέον εἶναι ταύταις, Κρυγῆρος δὲ αὐτοῖς (= τοῖς γεγενημένοις) καὶ ὀβελιστέον ἅμα τὸ ταῖς μάχαις. Ἡμεῖς δὲ μεταγράφοντες αὐταῖς οὐ δοκιμάζομεν τὴν ἀποβολὴν τοῦ ταῖς μάχαις. Ἔστι γάρ τοι τὸ αὐταῖς ὁριστικόν, διακρῖνον διαφανῶς τὰς μάχας ἑτέρων τε τινῶν πράξεων, περὶ ὧν αὐτόθι λέγει (8), καὶ τῶν πρεσβειῶν καὶ τῶν λεχθέντων λόγων.

346, 15.

Περὶ δὲ τῆς ὑστέρας (εἰρήνης), ὅτεΛακεδαιμόνιοι τοὺς περὶ Πύλον ἁλόντας τριακοσίους κομίσασθαι προθέμενοι πρεσβείαν ἀπέστειλαν εἰς τὰς Ἀθήνας, καὶ τοὺς λόγους εἴρηκε τοὺς ὑπὸ τοῦ Λακεδαιμονίου ῥηθέντας τότε καὶ τὰς αἰτίας ἐπελήλυθε, δι' ἃς οὐκ ἐπετελέσθησαν αἱ σπονδαί.

Τὴν γραφὴν πρεσβείας Κρυγῆρος ἐπανορθῶν μετέγραψε πρεσβείαν. Ἡμεῖς δὲ μᾶλλον ἂν πρέσβεις ἑλοίμεθα γράψαι ἀντὶ τοῦ πρεσβείας ὑπὸ τοῦ ἐπιόντος Λακεδαιμονίου τοῦ εἰς τὸ πρέσβεις ἀναφερομένου ἀγόμενοι.

352, 14.

Ὁ δὲ οὕτως ἠμέλησε τῶν ἀνδρῶν (τῶν ἐν Σικελίᾳ ἀποθανόντων), ὥστε μηδὲ τοῦτο αὐτὸ εἰπεῖν, ὅτι πένθος δημοσίᾳ προὔθετο ἡ πόλις καὶ τοὺς εἰωθότας ἐναγισμοὺς – – ἐπετέλεσε καὶ τὸν ἐροῦντα ἐπ' αὐτοῖς ἀπέδειξεν – –· οὐ γὰρ δὴ εἰκὸς ἦν Ἀθηναίους ἐπὶ μὲν τοῖς πεντεκαίδεκα ἱππεῦσιν δημοσίᾳ πενθεῖν, ⟨τοὺς δ' ἐν Σικελίᾳ πεσόντας, ἐν οἷς⟩ . . ., τῶν δ' ἐκ καταλόγου πλείους οἱ διαφθαρέντες ἢ πεντακισχίλιοι, μηδεμιᾶς ἀξιῶσαι τιμῆς.

Τοῦ ἐν τοῖς γεγραμμένοις διακένου οὕτω μοῖράν τινα ὁ ἐκδότης ἐμ-

ΕΡΓΑΣΤΗΡΙΟ ΙΣΤΟΡΙΑΣ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
ΕΚΔΑ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πέπληκε οὐ πάνυ τι ἀπίθανα τοπάσας πλήν γε τοῦ ἐν οἷς, ἀνθ' οὗπερ ἄμεινον ἂν ἔχοι γραφόμενον τὸ ὧν καὶ ἀντὶ τοῦ πεσόντας τὸ ἀποθανόντας κατὰ τὸ ὀλίγον ἔμπροσθεν εἰρημένον (8) «οἱ ἐν Σικελίᾳ μετὰ Νικίου καὶ Δημοσθένους ἀποθανόντες Ἀθηναίων»· οὐδὲ γὰρ πάντες ἔπεσον, ἀλλὰ πολλοὶ καὶ νόσοις καὶ λιμῷ διεφθάρησαν· τῷ δ' ἄλλῳ μέρει τοῦ κενοῦ ἡμῖν γε ἐγγεγραμμένον ἂν εἴη ἱππεῖς μὲν πεντήκοντα καὶ ἑξακόσιοι, (ὅρα Θουκυδ. 6, 98), ὥστε τὸ ὅλον ἐμβεβλημένον τῷ κενῷ ὧδ' ἂν ἔχοι· ⟨τοὺς δ' ἐν Σικελίᾳ ἀποθανόντας, ὧν ἱππεῖς μὲν πεντήκοντα καὶ ἑξακόσιοι⟩

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## 360, 18.

Ἀρετάς τε τὰς μεγίστας καὶ λαμπροτάτας ἔξω τῶν ἐναγωνίων οὐδέν . . . ἐν ταύταις ἐνέλιπεν (ὁ Ἡρόδοτος), εἴ τε οὐκ εὖ πεφυκὼς πρὸς αὐτὰς εἴ τε κατὰ λογισμόν τινα ἑκουσίως ὑπεριδὼν ὡς οὐχ ἁρμοττουσῶν ἱστορίαις.

Μετὰ τὸ οὐδεν τάδ' ἐγγραπτέα ἡμῖν εἶναι δοκεῖ ⟨ὃς ἐνδεέστερον ἔσχεν⟩, μετὰ δὲ τὸ ταύταις ἐμβλητέον εἶναι τὸ ⟨δ'⟩, ὥστε τὸ ὅλον ἔχειν ὧδε· οὐδεν⟨ὃς ἐνδεέστερον ἔσχεν⟩· ἐν ταύταις ⟨δ'⟩ ἐνέλιπεν εἴ τε οὐκ εὖ πεφυκὼς πρὸς αὐτὰς κτέ.

## 371, 24.

. . . . .

ἐργάσηται (ὁ Θουκυδίδης) θάτερον, οὐκέτι καλὸν οὐδὲ τέλειον ἀποδίδωσι τὸ ἕτερον.

Ἀναγνοὺς τά τ' ἔμπροσθεν καὶ τὰ ὄπισθεν τοπάζω τὴν ἐνταῦθα λεγομένην συζυγίαν τὸ βραχύ τε καὶ δυνατὸν μετὰ τοῦ σαφοῦς εἶναι καὶ τῇδέ πῃ τὸ ἐλλείπειν δοκοῦν τοῦ λόγου ἐπιχειρῶ ἀποδιδόναι ⟨ἐν οἷς δὲ τὸ βραχὺ καὶ δυνατὸν μετὰ τοῦ σαφοῦς ἅμα διώκειν πειρᾶται, ἐὰν περιττῶς⟩

## 375, 7.

Οἷς ἐπιτίθησιν (ὁ Θουκυδίδης) τὰ θεατρικὰ σχήματα

Εψ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ταυτί· «τόλμα μὲν γὰρ ἀλόγιστος ἀνδρεία φιλέταιρος ἐνομίσθη, μέλλησις δὲ προμηθὴς δειλία εὐπρεπής» · - - τὸ γὰρ οὔτε θεατρικὸν . . ., ἀλλ' ἀναγκαῖον τῆς λέξεως σχῆμα τοιοῦτ' ἂν ἦν·

Ἀποσκοποῦντες εἰς τὸ ἐν τοῖς ἔμπροσθέν που εἰρημένον (374,17) «τούτοις ἐπιφέρει κεφάλαιον ἄλλο ποιητικῆς, μᾶλλον δὲ διθυραμβικῆς σκευωρίας οἰκειότερον» καὶ τὸ (375, 6) «περιφράσεως ποιητικῆς ἐστιν οἰκειοτέρα (ἡ ῥῆσις)· οἷς ἐπιτίθησι τὰ θεατρικὰ σχήματα ταυτί», τὸ οὔτε ποιητικὸν πρὸ τοῦ οὔτε θεατρικὸν ἡγούμεθα ἐκπεπτωκέναι τῆς γραφῆς καὶ γράφομεν ἄρα «τὸ γὰρ ⟨οὔτε ποιητικὸν⟩ οὔτε θεατρικόν, ἀλλ' ἀναγκαῖον κτέ.».

303, 7.

Ὃ ὑμεῖς ἀσθενεῖς τε καὶ ἐπὶ σκοπῆς μιᾶς ὄντες μὴ βούλεσθαι παθεῖν.

Θαυμαστὸν ὅτι πολλαχοῦ ὁ ἐκδότης τὴν ὁμολογουμένως ἄτοπον τῶν Διονυσιακῶν ἀπογράφων σῴζει γραφὴν ἀντὶ τῆς τῶν Θουκυδιδείων ὀρθῆς, ὥσπερ ἐνταῦθα ἀναγιγνώσκων σκοπῆς ἀντὶ ῥοπῆς καὶ ὀλίγα διελθόντι (395,8) ἀντὶ τοῦ δυνάμει δυνάμεις καὶ (9) ὁρῶντας ἀντὶ ἑκόντας γράφων, κακῶς, οἶμαι, ἡγούμενος τοιαῦτ' ἀνόητά ποτε ἀναγνόντ' ἂν ἀγαπῆσαι Διονύσιον καὶ δέξασθαι. Καὶ ἄλλα δὲ τοιαῦτα ἀλλαχοῦ ὁ ἐκδότης ἁμαρτών, ἐν ἑτέρᾳ ἐκδόσει ἐπανορθῶν ὀρθότατ' ἂν ποιοίη καὶ κατὰ λόγον τὸν προσήκοντα καὶ δίκαιον.

396, 24.

Ἐν ἐκείνῳ μὲν γὰρ (τῷ Πλαταιῶν διαλόγῳ) Ἀρχίδαμος ὁ Λακεδαιμόνιος δίκαιά τε παρακαλεῖται τοὺς Πλαταιεῖς καὶ λέξει κέχρηται καθαρᾷ καὶ σαφεῖ οὐδὲν σχῆμα ἐχούσῃ βεβασανισμένον οὐδὲ ἀνακόλουθον.

Μᾶλλον ἂν ἑλοίμην βεβιασμένον ἢ βεβασανισμένον κατὰ τὸ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Σ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

(397, 19) ὀλίγον μετὰ ταῦτα λεχθὲν «τοῦ σχηματισμοῦ τοῦ ἀνακολούθου καὶ βεβιασμένου» ἀλλ' οὐ κατὰ τὸ ἐν τῇ τρίτῃ μετὰ τοῦτο σελίδι (398, 10) βεβασανίσθαι μηδὲ κατεπιτετηδεῦσθαι», οἰκείως ἔχοντ' ἀλλήλοις τὴν διάνοιαν λόγου μόρια, ὥσπερ τὸ βεβιασμένος καὶ τὸ ἀνακόλουθος οἰκείως αὖ πρὸς ἑαυτά.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

397, 6.

Ἃ γὰρ οἱ προεστηκότες τῶν πόλεων καὶ τηλικαύτας ἐξουσίας πιστευόμενοι φρονεῖν τε καὶ λέγειν ⟨ἐοίκασι⟩ πρὸς τὰς πόλεις ὑπὲρ τῆς ἑαυτῶν πατρίδος, ταῦτα κοινὰ ὑπολαμβάνουσιν ἅπαντες εἶναι τῆς ἀποστελλούσης πόλεως αὐτούς.

Ἀνθ' οὗπερ ὁ ἐκδότης τοπάζων ἐνέγραψε τῷ χάσματι ἐοίκασιν οἰκειότερον καὶ μᾶλλον τοῖς λεγομένοις ἁρμοττόμενον ἡμῖν γε δοκεῖ εἶναι τὸ εἰώθασι.

397, 12.

Τῶν δὲ δημηγορικῶν λόγων τεθαύμακα μὲν τὸν ἐν τῇ πρώτῃ βύβλῳ ῥηθέντα ἐν Ἀθήναις ὑπὸ Περικλέους - - καὶ τοὺς ὑπὸ τοῦ Νικίου τοῦ στρατηγοῦ ῥηθέντας ἐν Ἀθήναις ὑπὲρ τῆς εἰς Σικελίαν στρατείας, τήν τε πεμφθεῖσαν ὑπ' αὐτοῦ τοῖς Ἀθηναίοις ἐπιστολήν, ἐν ᾗ χρήζει συμμαχίας ἄλλης καὶ διαδόχου.

Ἐάν τις μετελθὼν ἀναγνῷ τὴν παρὰ Θουκυδίδῃ ἐπιστολὴν ταύτην (7,15) οὐδὲν ὁρᾷ περὶ ἄλλης συμμαχίας λεγόμενον, ἀλλὰ περὶ στρατιᾶς μὴ ἐλάσσονος καὶ πεζῆς καὶ ναυτικῆς· διὸ ἐπανορθωτέον εἶναι δοκεῖ τὸ ἐνταῦθα πλημμελῶς ἔχον συμμαχίας, καὶ στρατιᾶς μεταγραπτέον.

400, 12.

Οὐδὲ γὰρ ἡ περὶ τοῦ μέλλοντος ἐλπίς, ὅτι ταῦτα πρὸς ἀγαθοῦ τῇ πόλει γενήσεται τὰ δεινά, βέβαιον εἶχέ τι·

Ε.Ι.Δ.Π. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀφανὲς γὰρ ἀνθρώπῳ τὸ μέλλον καὶ πρὸς τὰ παρόντα τὰς περὶ τῶν ἐσομένων γνώμας αἱ τύχαι τρέπουσι.

Πᾶς ὁρᾷ ὡς οὐκ ἂν ἔχοι ἐπιτηδείως οὐδαμῶς τοῖς λεγομένοις τὸ πρὸς ἀγαθοῦ, ἀλλὰ πρὸς ἀγαθόν, ὃ καὶ γραπτέον εἶναι δοκεῖ ἀντ' ἐκείνου.

402, 5.

Ὀχληρὰ δὲ — τὰ μειρακιώδη καλλωπίσματα τῆς λέξεως — «φρόνημα μὲν γὰρ καὶ ὑπὸ ἀμαθίας εὐτυχοῦς καὶ δειλῷ τινι ἐγγίγνεται· καταφρόνησις δὲ ὃς ἂν καὶ γνώμῃ πιστεύῃ τῶν ἐναντίων προέχειν» — · τά τε γὰρ «φρονήματα» ψυχρότερά ἐστι — ἥ τε τῶν ὀνομάτων ἐξήγησις ἀμφότερον σοφιστικὴ καὶ ἀπειρόκαλος.

Ῥέισκος ἐπανορθῶν ἀμφότερον ἔγραψεν ἀντὶ τοῦ τῆς γραφῆς ἀμφοτέρων, ὁ δ' ἐκδότης ἐπαινῶν ἐδέξατο. Ἡμεῖς δέ γε δυοῖν ἕνεκα τῆς γραφῆς ὑπερμαχοῦμεν καὶ κρατῆσαι ἀξιοῦμεν, πρῶτον μὲν ὅτι δύο ἐστὸν ὀνόματε, ὧν ἐν τοῖς ἔμπροσθεν ἐξήγησις ἐγένετο, τό τε φρόνημα καὶ τὸ καταφρόνημα, περὶ τόλμης καὶ ἐλπίδος καὶ γνώμης καὶ προνοίας ἰδίου χωρὶς λόγου μετὰ ταῦτα γιγνομένου (18-25), ἔπειτα εἰ ἀμφότερον ἀντὶ τοῦ ἀμφοτέρων ἐγράφη, σοφιστική τε καὶ ἀπειρόκαλος ἀκολουθοῦσ' ἂν ἦν πάντως συμπλοκὴ ὀνομάτων, ἀλλ' οὐ σοφιστικὴ καὶ ἀπειρόκαλος, τῷ καὶ συνεζευγμένη μόνον.

408, 10.

Οὔτε γὰρ ἐν ταῖς ἐκκλησίαις χρήσιμόν ἐστι τοῦτο τὸ γένος τῆς φράσεως — , οὔτε ἐν τοῖς δικαστηρίοις — · (. . . αἳ λυποῦσι τὸν πολιτικὸν ὄχλον οὐκ ὄντα τῶν τοιούτων ἀκουσμάτων ἐν ἔθει), οὔτε ἐν ταῖς ἰδιωτικαῖς ὁμιλίαις — · ἐῶ γὰρ λέγειν ὅτι τῶν οὕτω διαλεγομένων οὐδὲ αἱ μητέρες ἂν καὶ οἱ πατέρες ἀνέχοιντο διὰ τὴν ἀηδίαν.

Τὰ ἐν παρενθέσεσι δηλοῖ τὴν τῶν εἰρημένων αἰτίαν, οὐδὲν ἄλλο ση-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Α. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μαινοντα ἢ δι' ὅ,τι δὴ οὔτ' ἐν ἐκκλησίαις οὔτ' ἐν δικαστηρίοις χρήσιμος ἡ φράσις ἡ λαμβάνουσα πολλὴν ἐκτροπὴν ἐκ τῶν κοινῶν ὀνομάτων καὶ σχημάτων εἰς τὰ ξένα καὶ βεβιασμένα καὶ ἀνακολούθητα, ὥσπερ τὸ ὀλίγον μετὰ ταῦτα ἐῶ γὰρ λέγειν μετὰ τῶν ἐχομένων τὸ δι'.ὅ,τι ἄχρηστος αὕτη καὶ ἐν ταῖς ἰδιωτικαῖς ὁμιλίαις τυγχάνει οὖσα δηλοῖ. Ἀντὶ δὲ τοῦ ἐνταῦθα οὕτω διαλεγομένων ἡμεῖς ἐκεῖ τὸ αἱ λέξεις ἢ αἱ διάλεκτοι αἱ τοιαῦται ἐν καιρῷ ἂν εἰρῆσθαι τοπάζομεν, καὶ ὧδε ἄρα τὸ κενὸν ἐμπιμπλάναι αἱρούμεθα ⟨Αἱ γὰρ λέξεις (ἢ διάλεκτοι) αἱ τοιαῦτ⟩αι λυποῦσι κτέ. Ὁ δ' ἐκδότης ἐκπεπτωκέναι οἴεται οἷον τὸ ⟨οὐδεὶς γὰρ ἀγνοεῖ ὅτι αἱ τοιαῦται ῥητορεῖ⟩αι ἢ ⟨τίς γὰρ ἂν προέλοιτο νοῦν ἔχων τὰς τοιαύτας ῥητορείας⟩ αἵ. Καίτοι οὐκ ἔστιν οὐδαμῶς ὁ λόγος ἐνταῦθα περὶ ῥητορείας, ἀλλὰ περὶ φράσεως ἢ λέξεως ἢ διαλέκτου.

## 409, 26.

Ἤδη δέ τινες ἐπεχείρησαν λέγειν, ὡς οὐ τῶν μεθ' ἑαυτὸν ἐσομένων στοχαζόμενος ὁ συγγραφεὺς οὕτως ἔγραψε τὰς ἱστορίας, ἀλλὰ τῶν καθ' ἑαυτὸν ὄντων, οἷς ἦν ἡ διάλεκτος . . . χρήσιμος οὗτος ὁ χαρακτὴρ οὔτ' εἰς τοὺς συμβουλευτικοὺς ⟨οὔτ' εἰς τοὺς δικανικοὺς⟩ ἀγῶνας, ἐν οἷς οἱ ἐκκλησιάζοντες καὶ οἱ δικάζοντες, οὐχ οἵους ὁ Θουκυδίδης ὑπέθετο, συνέρχονται.

Τῷ μετὰ τὸ διάλεκτος λόγου διαλείμματι, ὑπὸ Συλβούργου πρώτου γνωσθέντι τε καὶ σημανθέντι, τάδ' ἐμβάλλειν βουλόμεθα ⟨συνήθης καὶ γνώριμος· οὐκ ἔστι δέ⟩. Καὶ περὶ μὲν τοῦ συνήθης καὶ γνώριμος· ἴδοις ἂν τῷ ὀλίγα διελθόντι (410,19) «διάλεκτον ὡς δὴ **τοῖς τότε ἀνθρώποις συνήθη**» καὶ τὸ πολὺ πορρωτέρω τοῦ λόγου (418, 7) «τοῖς καθ' ἑαυτὸν ἀνθρώποις αὐτὸς ὁ Θουκυδίδης ἔγραψε συνήθη πάντα καὶ γνώριμα ὄντα». Τὸ δ' οὐκ ἔστι δὲ κτέ ἀντιλογία τις τῶν Θουκυδίδῃ συνηγορούντων ἐστὶ τοῖς ἐν τοῖς ἔμπροσθέν που εἰρημένοις (408, 10) «οὔτε γὰρ ἐν ταῖς ἐκκλησίαις χρήσιμόν ἐστι τοῦτο τὸ γένος τῆς φράσεως – – οὔτ' ἐν τοῖς δικαστηρίοις».

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

411, 20.

Εἷς ἔτι μοι καταλείπεται λόγος περὶ τῶν μιμησαμένων τὸν ἄνδρα (τὸν Θουκυδίδην) - - ⟨ἀναγκαῖος μὲν ὤν⟩ - -, ὄκνον δέ τινα καὶ πολλὴν εὐλάβειαν παρέχων μή τινα παράσχωμεν ἀφορμὴν διαβολῆς τοῖς πάντα συκοφαντεῖν εἰωθόσι - - · οἷς τάχα βάσκανόν τι καὶ κακόηθες πρᾶγμα δόξομεν . ., εἰ τοὺς μὴ καλῶς τῇ μιμήσει χρησαμένους παράγομεν.

Μετὰ τὸ δόξομεν τὸ ⟨ποιεῖν⟩ ἐκπεπτωκὸς φαίνεται· θαυμαστὸν δ' ὅτι οὔτε Σύλβουργος ὁ τὸ κενὸν πρῶτος σημήνας οὔτε ὁ ἐκδότης ἐγγράψαι ἠθέλησεν. Παρασκοποίη δ' ἂν τὸ ἐν τῇ ἐχομένῃ σελίδι (19) «ὅσοι μέγα τι καὶ λαμπρὸν ἔδοξαν ποιεῖν».

415, 22.

«Εἶτ' οἴεσθε, εἰ μὲν αὐτὸν μηδὲν ἐποίησαν κακόν, μὴ ποθεῖν δὲ φυλάξαιντο ἴσως, τούτους μὲν ἐξαπατᾶν αἱρεῖσθαι μᾶλλον ἢ προλέγοντα βιάζεσθαι».

Θαυμαστὸν ὅτι ἀτοπώτατα καὶ παρὰ πάντα λόγον τὴν γραφὴν ἔχουσαν σῴζει ὁ ἐκδότης, ὑπεριδὼν τῶν Δημοσθενείων ἀπογράφων τἀληθές τε καὶ ὀρθὸν παρεχόντων. Τὸ μὲν γὰρ τούτους ἀναγκαίως ἄγει εἰς τὸ οἱ μὲν ἐκείνων ἀντὶ τοῦ εἰ μὲν τῶν Διονυσιακῶν, κακῶς δ' ἔχον πάντῃ τὸ δὲ φυλάξαιντο ἴσως δηλοῖ ἀντὶ τοῦ ὑγιοῦς δ' ἐφυλάξαντ' ἂν ἴσως καὶ τὴν χασμωδίαν ἅμα φεύγοντος. Μόνον δ' ἐν τοῖς κριτικοῖς ὑπομνήμασιν ἐχρῆν ἀκεραίαν τὴν γραφὴν καὶ νοσοῦσαν ἔτι σῴζειν, εἰς δὲ τὸ κείμενον τὸ ὀρθὸν κατ' ἐπανόρθωσιν εἰσάγειν, ἄλλως τε καὶ εὐτυχοῦντα Δημοσθενείων ἀπογράφων εὐπορίᾳ.

427, 2.

Ἥ τε οὐκ ἀποτείχισις τοῦ Πλημμυρίου ἡ ἐν τῇ ἑβδόμῃ βύβλῳ ⟨καὶ ἡ ὀλόφυρσις ἣν ἐν τῇ πρώτῃ βύβλῳ⟩ τέθηκεν ἐν δημηγορίᾳ.

Τό τε ἔμπροσθέν που (426, 9) εἰρημένον «ὡς ἐπὶ τοῦ Λακεδαιμονίου Βρασίδα τέθηκεν» καὶ τὸ ὄπισθεν (430, 2) ὅμοιον καὶ παραπλήσιον «ὡς ἐπὶ τῶν Ἀθηναίων τέθηκεν» ὧδε ἡμᾶς τὸ κατὰ Κρυγήρου δόξαν τῷ διαλείμματι ἐγγραφὲν μεταλλάξαι πείθει ⟨καὶ ἡ ὀλόφυρσις, ὡς ἐπὶ τῶν Ἀθηναίων ἐν τῇ πρώτῃ βύβλῳ⟩ τέθηκεν ἐν δημηγορίᾳ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

429, 13.

Τὸ γὰρ ἕκαστος καὶ τὸ ἤκουσεν ἑνικά, τὰ δ' ἐπιφερόμενα τούτοις πληθυντικῶς ἐξενήνεκται· «τῷ δ' ὑπερβάλλοντι αὐτὸν φθονοῦντες ἤδη καὶ ἀπιστοῦσιν» . . . οὐ καθ' ἑνὸς λέγεσθαι πεφύκασι, ἀλλὰ κατὰ πολλῶν.

Ἐχρῆν μὲν τὸν ἐκδότην πάντως αὐτῶν ἀντὶ τοῦ νοῦν οὐκ ἔχοντος αὐτὸν δοκιμάσαντα γράψαι κατὰ πάντα μὲν τὰ Θουκυδίδου, τρία δὲ τοῦ Διονυσίου γεγραμμένα βιβλία. Τῷ δὲ μετὰ τὸ ἀπιστοῦσι κενῷ τοιάδε ἂν ἐγγράφειν ἐθέλοιμεν ⟨τὸ γὰρ φθονοῦντες καὶ τὸ ἀπιστοῦσιν⟩.

430, 12.

Ἐν οἷς δὲ τὰς πτώσεις τῶν ὀνομάτων καὶ τῶν προσηγοριῶν καὶ τῶν μετοχῶν καὶ ⟨τῶν⟩ συναπτομένων τούτοις ἄρθρων ἐξαλλάττει τοῦ συνήθους, οὕτως σχηματίζει [τῇ φράσει].

Οὐδενὸς ἀναγκάζοντος ὁ ἐκδότης ἀποδοκιμάζει τὸ τῇ φράσει ἑνὸς ἀπογράφου (P) ὄν, ἐξὸν παραλαβεῖν τὸ δύο ἑτέρων (GC) φράσιν. Εἴρηται μὲν γὰρ ὡσαύτως εὐθὺς μετὰ ταῦτα (19) «οἱ ἀκολούθως τῇ κοινῇ συνηθείᾳ σχηματίζοντες τὴν φράσιν», ἐρρήθη δὲ παραπλησίως τῶν τε ἄνω που λόγων (426, 16) «τοιαύτην ποιεῖ τὴν φράσιν» καὶ (427, 8) «τοῦτον τὸν τρόπον ἐκφέρει τὴν λέξιν» καὶ (αὐτ. 18) «οὕτως σχηματίζει τὸν λόγον» καί που τῶν κάτω λόγων (432, 16) «οὕτως σχηματίζει τὸν λόγον».

Ε.Υ.Δ της Κ.Ε.Π. ΙΩΑΝΝΙΝΑ 2006

432, 2.

'Ακόλουθον δ' ἂν ἦν εἰ συνέζευξεν τῷ ἐθέλοιμεν τὸ περιέσται... «τοῦ τε γὰρ χωρίου τὸ δυσέμβατον ἡμέτερον νομίζω· ὃ μενόντων μὲν ἡμῶν σύμμαχον γίνεται, ὑποχωρήσασι δὲ καίπερ χαλεπὸν ὂν εὔπορον ἔσται».

'Ερουερδῆνος δόξῃ ἐδέξατ' ὁ ἐκδότης χάσμ' ἐνεῖται τῷ λόγῳ μετὰ τὸ περιέσται, ὃ καὶ ἡμῖν συνδοκοῦν ὧδ' ἂν ἐμπλησθείη «⟨καὶ αὖθις·⟩» ἢ ⟨καὶ ἔτι τὸ τοιοῦτον·⟩

435, 2.

«Τῆς τε ἀναγκαίου τροφῆς πανταχοῦ ἂν ὁμοίως ἐπικρατήσειν οἰόμενοι, οὐ χαλεπῶς ἀνίσταντο» ⟨εἰ γὰρ τὸ οὐ χαλεπῶς ἀνίσταντο⟩ προσέθηκεν τῇ πρώτῃ περιόδῳ καὶ ἐσχημάτισεν οὕτως· «τῆς γὰρ ἐμπορίας οὐκ οὔσης - - νεμόμενοι δὲ τὰ ἑαυτῶν ἕκαστος ὅσον ἀποζῆν οὐ χαλεπῶς ἀνίσταντο» φανερωτέραν ἂν ἐποίει τὴν διάνοιαν.

'Ημεῖς τῷ μετὰ τὸ ἀνίσταντο λόγου κενῷ ἀντεμβάλλομεν μᾶλλον πιθανὸν ὂν τὸ ⟨ὃ εἰ⟩ ἢ τὸ ⟨εἰ δὲ τοῦτο⟩ οὐδένα μὲν λόγον ἔχοντος τοῦ γάρ, σαφοῦς δ' ἔτι τοῦ ὃ ἢ τοῦ τοῦτο γιγνομένου τῷ μετὰ τὸ ἀποζῆν λεγομένῳ οὐ χαλεπῶς ἀνίσταντο.

'Εν 'Αθήναις κατὰ 'Οκτώβριον τοῦ 1901.

ΜΙΛΤΙΑΔΗΣ Ι. ΠΑΝΤΑΖΗΣ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006